* Extat in Anthol. 3 p. 277: et ap. Vrſin. p. 127.
1. ἐκ τύμβου δὲ Anthol. Vrſin. bene.

## Ιʹ. ΔΙΑΛΟΓΟΣ *

Πολλὰ πιὼν τέθνηκας, Ἀνάκρεον, ἠδὲ τρυφήσας·
Καὶ σὺ δὲ, μὴ πίνων, ἵξεαι εἰς Ἀΐδην.

* Extat in Anthol. 3 p. 278, praefixo titulo εἰς τὸν αὐτόν· et ap. Vrſin. p. 127, praefixo titulo εἰς τὸν αὐτὸν Ἄδηλον.
1. ἀλλὰ τρυφήσας Anthol. Vrſin.

## ΙΑʹ. ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ ΕΙΣ ΑΝΑΚΡΕΟΝΤΑ *

Πρέσβυν Ἀνακρείοντα χύδαν σεσαλαγμένον οἴνῳ
Θάεο, δινωτοῦ στρεπτὸν ὕπερθε λίθου·
Ὡς ὁ γέρων λίχνοισιν ἐν ὄμμασιν ὑγρὰ δεδορκὼς,
Ἄχρι καὶ ἀστραγάλων ἕλκεται ἀμπεχόναν·
Δισσῶν δ᾽ ἀρβυλίδων τὰν μὲν μίαν, οἷα μεθυπλὴξ,
Ὤλεσεν· ἐν δ᾽ ἑτέρᾳ ῥικνὸν ἄραρε πόδα·
Μέλπει δ᾽ ἠὲ Βάθυλλον ἐφίμερον, ἠὲ Μεγιστᾶν,
Αἰωρῶν παλάμᾳ τὰν δυσέρωτα χέλυν·
Ἀλλὰ, πάτερ Διόνυσε, φύλασσέ μιν· οὐ γὰρ ἔοικεν
Ἐκ Βάκχου πίπτειν Βακχιακὸν θέραπα.

* Extat in Anthol. 4 p. 367: et ap. Vrſin p. 125 ſ.
1. χύδην Vrſ.
3. ἐπ᾽ ὄμμασιν Anthol. Vrſin.
7. Μεγιστᾶν Anthol. μεγίστην Vrſ.



Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/ppn325363021/390
gefördert von der Deutschen Forschungsgemeinschaft DFG